## *Συναξάριον.*

Τῇ Θ΄ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ Ὁσίου Φωτίου τοῦ Θετταλοῦ.

*Ἀκρόπολιν, Φώτιε, καὶ Χορταΐτην*

*ἀστραπαῖς ἐφώτισας σεπτῶν ἀγώνων.*

Ὁ Ὅσιος καὶ θεοφόρος πατὴρ ἡμῶν Φώτιος, ὁ Θετταλός, ὑπῆρξε δεσπόζουσα μοναστικὴ φυσιογνωμία τῆς πνευματικῆς περιοικίδος τῆς Θεσσαλονίκης ἐν τῷ ἑνδεκάτῳ αἰῶνι. Κατήγετο ἐκ τῆς Θετταλίας, ὑπὸ τὴν εὐρυτάτην τοῦ ὅρου γεωγραφικὴν ἔννοιαν, ἐκ γονέων εὐπόρων καὶ ἐπιφανῶν μὴ κατονομαζομένων. Ἀσπασθεὶς οὗτος ἐν νεανικῇ ἡλικίᾳ τὸ μοναχικὸν σχῆμα δι' αὐστηροτάτης καὶ συντόνου ἀσκήσεως τὴν κλίμακα ἀνῆλθε τῆς ἀρετῆς. Ἐρχόμενος εἰς τὴν Θεσσαλονίκην, τὴν προκαθεζομένην τῶν Θετταλικῶν πόλεων, τὴν καὶ βασιλίδα ταῖς ἑκατέρωθεν πόλεσιν, ὁ Ὅσιος Φώτιος ἐγκατεβίωσεν ἔν τινι μικρᾷ Μονῇ ἐν τῇ περιοχῇ τῆς Ἀκροπόλεως, τιμωμένῃ τοῖς Ἁγίοις Ἀναργύροις, Κοσμᾷ καὶ Δαμιανῷ. Ἐν αὐτῇ ἐγνώρισε τὸν περίφημον διὰ τὰς ἀρετὰς καὶ τὰ πνευματικὰ χαρίσματα, ἱερώτατον ἀσκητὴν Βλάσιον, Γέροντα καὶ Καθηγούμενον τῆς Μονῆς, ᾧ πνευματικῶς ὑπετάγη καὶ ἐξ οὗ ἐμυήθη τὰ τῆς μοναχικῆς πολιτείας καὶ ἔλαβε τὸ ἀγγελικὸν σχῆμα. Αὐτὸν συνώδευσεν εἰς Κωνσταντινούπολιν πρὸς τέλεσιν τῆς βαπτίσεως τοῦ υἱοῦ τοῦ αὐτοκράτορος Ῥωμανοῦ τοῦ Β΄ (959-963), τοῦ εἶτα Βασιλείου τοῦ Β΄, ὃν τιμητικῶς περιέφερεν ἕως τοῦ αὐτοῦ κοιτῶνος συνοδίᾳ ὕμνων. Ἐπιστρέψας ὁ Φώτιος εἰς Θεσσαλονίκην καί, ὢν ἐραστὴς τῆς ἡσυχίας, μετέβη εἰς τὰς ὑπωρείας τοῦ Χορταΐτου ὄρους, νῦν Χορτιάτου, ἔνθα κτίσας διὰ λίθων καλύβην ἐγκατεβίωσεν ἐν αὐτῇ συμφώνως τοῖς μοναστικοῖς κανόσιν. Ἐξ αὐτῆς ὁρμώμενος ἀνήρχετο τὸ ἔαρ καὶ τὸ θέρος εἰς τὴν κορυφὴν τοῦ ὄρους, ἐν ᾗ ἐδόμησε Ναὸν τῷ Ἀρχαγγέλῳ Μιχαὴλ καὶ θαυματουργικῶς ἀνέβλυσε δι' εὐχῶν αὐτοῦ ὕδωρ διειδέστατον καὶ ἰαματικόν. Αἱ τοῦ Μυσῶν ἔθνους ἐπιδρομαὶ (τῶν Βουλγάρων) κατὰ τῆς αὐτοκρατορίας προὐκάλεσαν μεγάλην ἐν αὐτῇ ἀστάθειαν καὶ ἠνάγκασαν τὸν αὐτοκράτορα Βασίλειον ἐκστρατεῦσαι κατ' αὐτοῦ. Ἡ ἀρνητικὴ ἔκβασις τοῦ πολέμου ὡδήγησε τὸν Βασίλειον εἰς τὴν Θεσσαλονίκην, τὴν ἔχουσαν φρούριον καὶ οὖσαν κατ' ἐχθρῶν ἀσφαλὲς ὁρμητήριον. Ἐκεῖ ἀνεζήτησε τὸν ἀσκητὴν Βλάσιον καί, πληροφορηθεὶς τὸν ἐκείνου θάνατον, ἔσπευσεν εἰς Χορταΐτην ὑπαντῆσαι τῷ ἐκείνου μαθητῇ, δεξάμενῳ ἐν χερσὶ ἐν τῇ αὐτοῦ βαπτίσει. Ἔκτοτε ὁ Βασίλειος ἐκράτησε πλησίον αὐτοῦ τὸν Ὅσιον Φώτιον, οὐ μόνον ἐν Θεσσαλονίκῃ, ἀλλὰ καὶ ταῖς αὐτοῦ ἐκστρατείαις ἀμυνόμενος τοὺς ἐναντίους ὅπλοις αὐτοῦ ἀμυντηρίοις καὶ τοῦ Ὁσίου ἀσκητοῦ λόγοις εὐκτηρίοις. Μετὰ τὴν ὁλοκληρωτικὴν ἐπικράτησην τοῦ Βασιλείου Β΄ ἐπὶ τῶν ἐπιδρομέων, περὶ τὸ ἔτος 1017, ὁ Ὅσιος Φώτιος ἐπέστρεψεν εἰς Θεσσαλονίκην ἐπευφημούμενος ὑπὸ τῶν εὐσεβῶν Θεσσαλονικέων. Ὁ θριαμβευτὴς αὐτοκράτωρ ἐπανακάμψας εἰς Βασιλεύουσαν ἀπέστειλεν εἶτα τῷ Φωτίῳ χρυσόβουλλον, δι' οὗ παρεῖχεν αὐτῷ δῶρα, ἃ ὁ Φώτιος ἐδαπάνησε τοῖς πένησι καὶ τῇ ἀνεγέρσει Ναῶν καὶ Μονῶν ἔν τε τῇ Ἀκροπόλει καὶ ἁπάσῃ τῇ Θεσσαλονίκῃ. Περιφανὴς ἐξαιρέτως κτίτωρ πέφηνεν ὁ Ὅσιος Φώτιος τῆς τοῦ Ἀκαπνίου Βασιλικῆς Μονῆς. Αἱ τῶν μονοτρόπων τῆς Θεσσαλονίκης ἀγέλαι ἐτύγχανον πνευματικὰ γεννήματα τοῦ σοφοῦ αὐτοῦ Ὁσίου καὶ ἱερὰ κατορθώματα τῶν αὐτοῦ θεοπειθῶν δεήσεων. Ἐκοιμήθη ἐν εἰρήνῃ παραδοὺς τὸ πνεῦμα αὐτοῦ εἰς χεῖρας Θεοῦ ζῶντος καὶ αὐτίκα ἐτιμήθη ὑπὸ τῶν Χριστωνύμων συνιόντων ἀλλήλοις καὶ συμπανηγυριζόντων τὸ θεῖον αὐτοῦ μνημόσυνον, καὶ ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς αὐτὸν γεραιρόντων, ἰδίως ἐν τῇ τοῦ Ἀκαπνίου περικλύστῳ Μάνδρᾳ.

www.tezaurliturgic.ro